eul_wid: hcq-aa

*Τιμοκλῆς ὁ κωμῳδιοποιός* · Timocles B Comic Poet

# Fragments on Rhetoric and Corruption

*Ἀποσπάσματα περὶ Ῥητορικῆς καὶ Διαφθορᾶς*

**Period:** *Κλασική* Classical
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 πῶς ἂν μὲν οὖν σώσειεν ἶβις ἢ κύων; ὅπου γὰρ εἰς
book 1.2 τοὺς ὁμολογουμένους θεοὺς ἀσεβοῦντες οὐ διδόασιν εὐθέως δίκην, τίν’ αἰελούρου βωμὸς ἐπιτρίψειεν ἄν;
book 2 καὶ τὸ γλωττοκομεῖον βαλανεύεται.
book 3.1 γαλεοὺς καὶ βατίδας ὅσα
book 3.2 τε τῶν γενῶν ἐν ὀξυλιπάρῳ τρίμματι
book 3.3 σκευάζεται.
book 4.1 [spk_α]Α. Δημοσθένης τάλαντα
book 4.2 πεντήκοντ’ ἔχει. Β. μακάριος, εἴπερ μεταδίδωσι μηδενί. Α. καὶ Μοιροκλῆς εἴληφε
book 4.3 χρυσίον
book 4.4 πολύ. Β. ἀνόητος ὁ διδούς, εὐτυχὴς δ’ ὁ λαμβάνων.[ln_5]Α. εἴληφε καὶ Δήμων
book 4.5 τι καὶ Καλλισθένης. Β. πένητες ἦσαν, ὥστε
book 4.6 συγγνώμην ἔχω. Α. ὅ τ’ ἐν λόγοισι δεινὸς Ὑπερείδης ἔχει. Β. τοὺς ἰχθυοπώλας οὗτος ἡμῖν
book 4.7 πλουτιεῖ ὀψοφάγος ὥστε
book 4.8 τοὺς λάρους εἶναι Σύρους.
book 5.1 οὐδ’ ὁ Χαβρίου Κτήσιππος ἔτι
book 5.2 τρὶς κείρεται, ἐν
book 5.3 ταῖς γυναιξὶ λαμπρὸς οὐκ ἐν ἀνδράσιν.
book 6.1 ὦ ’τάν, ἄκουσον ἤν τί σοι δοκῶ λέγειν. ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει, καὶ πολλὰ λυπήρ’ ὁ βίος ἐν ἑαυτῷ φέρει. παραψυχὰς οὖν
book 6.2 φροντίδων ἀνεύρετο[ln_5]ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν
book 6.3 πρὸς ἀλλοτρίῳ τε
book 6.4 ψυχαγωγηθεὶς πάθει, μεθ’ ἡδονῆς ἀπῆλθε
book 6.5 παιδευθεὶς ἅμα. τοὺς γὰρ
book 6.6 τραγῳδοὺς

book 6.7 πρῶτον, εἰ βούλει, σκόπει, ὡς ὠφελοῦσι πάντας. ὁ μὲν ὢν γὰρ πένης[ln_10]πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον γενόμενον ἤδη τὴν

book 6.8 πενίαν ῥᾷον φέρει. ὁ νοσῶν

book 6.9 τι μανικὸν Ἀλκμέων' ἐσκέψατο. ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι

book 6.10 τυφλοί. τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικεν.

book 6.1 [ln_15]χωλός τίς ἐστι, τὸν

book 6.2 Φιλοκτήτην ὁρᾷ. γέρων

book 6.3 τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα. ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον

book 6.4 στένει.

book 7.1 [spk_β]ὁ δ' Ἀχαρνικὸς

book 7.2 Τηλέμαχος ἔτι δημηγορεῖ; Β. οὗτος δ' ἔοικε

book 7.3 τοῖς νεωνήτοις Σύροις. Α. πῶς; ἢ τί πράττων; βούλομαι γὰρ εἰδέναι. Β. θάργηλον ἀγκάλῃ χύτραν φέρει.

book 8.1 ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω

book 8.2 τινὶ κακῶς λέγειν; ἥκιστά γ'· οὐδέν ἐστι γὰρ ἐν

book 8.3 τοῖς

book 8.4 τοιούτοις

book 8.5 χρησιμώτερον γένος. εἰ δ' ἔστι τὸ φιλέταιρον ἕν

book 8.6 τι τῶν καλῶν,[ln_5]ἀνὴρ

book 8.7 παράσιτος

book 8.8 τοῦτο

book 8.9 ποιεῖ διὰ τέλους. ἐρᾷς, συνεραστὴς ἀπροφάσιστος γίνεται, πράττεις

book 8.10 τι, πράξει

book 8.11 συμπαρὼν ὅ τι ἂν δέῃ, δίκαια

book 8.12 ταὐτὰ τῷ τρέφοντι νενομικώς, ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων.[ln_10]χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις· τίς δ' οὐχὶ θνητῶν; ἢ τίς ἥρως ἢ θεὸς ἀποδοκιμάζει τὴν

book 8.13 τοιαύτην διατριβήν; ἵνα μὴ δὲ πολλὰ μακρολογῶ δι' ἡμέρας, τεκμήριόν

book 8.14 τι παμμέγεθες οἶμαί γ' ἐρεῖν,

book 8.1 [ln_15]ὁ τῶν

book 8.2 παρασίτων ὡς

book 8.3 τετίμηται βίος· γέρα γὰρ αὐτοῖς

book 8.4 ταὐτὰ τοῖς τὠλύμπια νικῶσι δίδοται

book 8.5 χρηστότητος εἵνεκα, σίτησις. οὗ γὰρ μὴ τίθενται

book 8.6 συμβολαί, πρυτανεῖα

book 8.7 ταῦτα πάντα

book 8.8 προσαγορευτέα.

book 9.1 ὁ Δημοτίων δὲ παραμένειν αὐτῷ δοκῶν τἀργύριον οὐκ ἐφείδετ', ἀλλὰ παρέτρεφεν τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν

book 9.2 παντελῶς οἴκαδε βαδίζειν ᾤετ’, ὢ ταλάντατος.[ln_5]καὶ μὴν ἔτι
book 9.3 τοῦτ’ ἔστιν ἄξιον μόνον, τὸν
book 9.4 παραμασήτην λαμβάνειν δίκρουν ξύλον· οὔτ’ εὔρυθμος γάρ ἐστιν οὔτ’ ἀχρήματος.
book 10.1 οἴμοι κακοδαίμων, ὡς ἐρῶ. μὰ τοὺς θεούς, Τιθύμαλλος οὐδεπώποτ’ ἠράσθη
book 10.2 φαγεῖν οὕτω
book 10.3 σφόδρ’, οὐδὲ Κόρμος ἱμάτιον λαβεῖν, οὐ Νεῖλος ἄλφιτ’, οὐ Κόρυδος ἀσύμβολος[ln_5]κινεῖν ὀδόντας.
book 11.1 ἀγορὰν ἰδεῖν εὔοψον εὐποροῦντι μὲν ἥδιστον, ἂν δ’ ἀπορῇ τις ἀθλιώτατον. ὁ γοῦν Κόρυδος ἄκλητος, ὡς ἐμοὶ δοκεῖ, γενόμενος ὠψώνει
book 11.2 παρ’ αὑτὸν οἴκαδε.[ln_5]ἦν δὲ τὸ πάθος γελοῖον, οἴμοι, τέτταρας
book 11.3 χαλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν, θύννεια, νάρκας, καράβους ᾑμωδία. καὶ ταῦτα πάντα μὲν
book 11.4 περιελθὼν ἤρετο ὁπόσου, πυθόμενος δ’ ἀπέτρεχ’ εἰς τὰς μεμβράδας.
book 12.1 [spk_β]οὐκοῦν κελεύεις νῦν με πάντα μᾶλλον ἢ τὰ προσόντα
book 12.2 φράζειν. Β. πάνυ γε. Α. δράσω
book 12.3 τοῦτό σοι. καὶ πρῶτα μέν
book 12.4 σοι
book 12.5 παύσεται Δημοσθένης ὀργιζόμενος. Β. ὁ ποῖος; Α. ὁποῖος; ὁ Βριάρεως,[ln_5]ὁ τοὺς καταπέλτας τάς
book 12.6 τε λόγχας ἐσθίων, μισῶν λόγους ἄνθρωπος, οὐδὲ πώποτε ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ’ Ἄρη βλέπων.
book 13.1 ὡς δ’ ἦν ἡρμένη βίου
book 13.2 τιθήνη, πολεμία λιμοῦ, φύλαξ
book 13.3 φιλίας, ἰατρὸς ἐκλύτου βουλιμίας, τράπεζα. Β. περιέργως γε νὴ τὸν οὐρανόν,[ln_5]ἐξὸν
book 13.4 φράσαι
book 13.5 τράπεζα
book 13.6 συντόμως.
book 14.1 ἡ Πυθιονίκη δ’ ἀσμένως
book 14.2 σε δέξεται, καί σου κατέδεται
book 14.3 τυχὸν ἴσως ἃ νῦν ἔχεις λαβὼν
book 14.4 παρ’ ἡμῶν δῶρ’· ἄπληστός ἐστι γάρ. ὅμως δὲ δοῦναί σοι κέλευσον
book 14.5 σαργάνας[ln_5]αὐτήν· ταρίχους εὐπόρως γὰρ
book 14.6 τυγχάνει ἔχουσα καὶ σύνεστι
book 14.7 σαπέρδαις δυσίν, καὶ ταῦτ’ ἀνάλτοις καὶ πλατυρρύγχοις
book 14.8 τισίν.
book 15.1 τόν τ’ ἰχθυόρρουν
book 15.2 ποταμὸν Ὑπερείδην
book 15.3 περᾷς, ὃς ἠπίαις
book 15.4 φωναῖσιν ἔμφρονος λόγου κόμποις

book 15.5 παφλάζων ἠπίοις

book 15.6 πυκνώμασιν

book 15.7 πρὸς

book 15.8 πανδυσας ἔχει,[ln_5]μισθωτὸς ἄρδει

book 15.9 πεδία

book 15.10 τοῦ δεδωκότος.

book 16.1 ὥστ’ ἔχειν οὐδὲν

book 16.2 παρ’ ἡμῖν· νυκτερεύσας δ’ ἀθλίως

book 16.3 πρῶτα μὲν

book 16.4 σκληρῶς καθεῦδον, εἶτα Θούδιππος βδέων

book 16.5 παντελῶς ἔπηξεν ἡμᾶς, εἶθ’ ὁ λιμὸς ἥπτετο. ἐφέρετο

book 16.6 πρὸς Δίωνα τὸν διάπυρον· ἀλλὰ γὰρ[ln_5]οὐδ’ ἐκεῖνος οὐδὲν εἶχε. πρὸς δὲ τὸν

book 16.7 χρηστὸν δραμὼν

book 16.8 Τηλέμαχον Ἀχαρνέα

book 16.9 σωρόν

book 16.10 τε κυάμων καταλαβὼν ἁρπάσας

book 16.11 τούτων ἐνέτραγον. ὁ δ’ ὄνος ἡμᾶς ὡς ὁρᾷ, (ὡσπερεὶ) Κηφισόδωρος

book 16.12 περὶ τὸ βῆμ’, ἐπέρδετο.

book 18.1 ἤδη

book 18.2 προσενήνεκται; τί μέλλεις; σπεύδετε, ὦ ’τάν. ὁ γὰρ

book 18.3 Τιθύμαλλος οὕτως ἀνεβίω κομιδῇ τεθνηκώς, τῶν ἀν’ ὀκτὼ τοὐβολοῦ θέρμους μαλάξας. οὐκ ἀπεκαρτέρησε γὰρ[ln_5]ἐκεῖνος, ἀλλ’ ἐκαρτέρησ’, ὦ φίλτατε, πεινῶν.

book 19 Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν

book 20.1 πατάξω τ’ ἴσον ἴσῳ ποτηρίοις μεγάλοις ἅπασαν τὴν ἀλήθειαν

book 20.2 φράσαι.

book 21.1 μετὰ τοῦτον αὐτῷ Τηλέμαχος

book 21.2 συνετύγχανεν. καὶ τοῦτον ἀσπασάμενος ἡδέως πάνυ ἔπειτα ‘χρῆσόν μοι σύ, φησί, τὰς χύτρας ἐν αἷσιν ἧψες

book 21.3 τοὺς κυάμους.‘ καὶ ταῦτά τε[ln_5]εἴρητο καὶ παριόντα

book 21.4 Φείδιππον πάνυ τὸν

book 21.5 Χαιρεφίλου πόρρωθεν ἀπιδὼν τὸν

book 21.6 παχὺν ἐπόππυς’, εἶτ’ ἐκέλευσε πέμπειν

book 21.7 σαργάνας.

book 22 ὅσον τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετὰ χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι, βαβαί. ἡ στιφρότης, τὸ χρῶμα, πνεῦμα, δαίμονες, τὸ μὴ σφόδρ’ εἶναι πάνθ’ ἕτοιμα, δεῖν δέ τι

book 22.1 [ln_5][spk_β]ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί τε καὶ πληγὰς λαβεῖν ἁπαλαῖσι

book 22.2 χερσίν. Β. ἡδύ γε νὴ τὸν Δία τὸν μέγιστον.

book 23.1 ἀλλ’ ἔγωγ’ ὁ δυστυχὴς

book 23.2 Φρύνης ἐρασθείς, ἡνίκ’ ἔτι τὴν κάππαριν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 23.3 συνέλεγεν οὔπω τ’ εἶχεν ὅσαπερ νῦν ἔχει, πάμπολλ’ ἀναλίσκων ἐφ’ ἑκάστῳ τῆς θύρας[ln_5]ἀπεκληόμην.

book 24.1 ἔπειτα διά τε

book 24.2 ταῦτ’ ἀναρίστητος ὤν

book 25.1 περὶ δὲ τὸν

book 25.2 πανάθλιον εὕδουσι γρᾶες, Νάννιον, Πλαγγών, Λύκα, Γνάθαινα, Φρύνη, Πυθιονίκη, Μυρρίνη, Χρυσίς, Κοναλλίς, Ἱερόκλεια, Λοπάδιον.

book 27.1 εἶθ’ ὁ Καλλιμέδων ἄφνω ὁ Κάραβος

book 27.2 προσῆλθεν, ἐμβλέπων δ’ ἐμοί, ὡς γοῦν ἐδόκει, πρὸς ἕτερον ἄνθρωπόν

book 27.3 τινα ἐλάλει, συνιεὶς δ’ οὐδὲν εἰκότως ἐγὼ

book 27.1 [ln_5][spk_β]ὧν ἔλεγεν ἐπένευον διακενῆς. Β. τῷ δ’ ἄρα βλέπουσι

book 27.2 χωρὶς καὶ δοκοῦσιν αἱ κόραι.

book 28.1 πολλοὺς γὰρ ἐνίοθ’ ἡ πενία βιάζεται ἀνάξι’ αὑτῶν ἔργα

book 28.2 παρὰ φύσιν

book 28.3 ποιεῖν.

book 29.1 εὑρήσεις δὲ τῶν ἐπισιτίων

book 29.2 τούτων

book 29.3 τιν’, οἳ δειπνοῦσιν ἐσφυδωμένοι τἀλλότρι’, ἑαυτοὺς ἀντὶ κωρύκων λέπειν

book 29.4 παρέχοντες ἀθληταῖσι.

book 30.1 ὁ Μισγόλας οὐ προσιέναι

book 30.2 σοι

book 30.3 φαίνεται, ἀνθοῦσι

book 30.4 τοῖς νέοισιν ἠρεθισμένος.

book 31.1 τοῖς μὲν

book 31.2 τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός, τοῖς ζῶσι δ’ ἕτερον ἀνοσιώτατος

book 31.3 φθόνος.

book 32.1 ἀνοίγετ’ ἤδη τὰς θύρας, ἵνα

book 32.2 πρὸς τὸ φῶς ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐὰν βούληθ’ ὁ γυναικονόμος τὸν ἀριθμὸν λαμβάνειν, κατὰ τὸν νόμον τὸν καινὸν ὅπερ εἴωθε δρᾶν,[ln_5]τῶν ἑστιωμένων. ἔδει δὲ τοὔμπαλιν τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

book 33.1 καταμαθὼν δὲ κειμένην θερμὴν

book 33.2 σκάφην θερμῶν ἰπνιτῶν ἤσθιον.

book 34.1 ὅστις

book 34.2 φοβεῖται τὸν

book 34.3 πατέρα κᾀσχύνεται, οὗτος

book 34.4 πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον, καὶ τοὺς

book 34.5 πολεμίους δυνάμενος κακῶς

book 34.6 ποιεῖν.

book 35.1 τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς. ὅστις δὲ μὴ ἔχει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 35.2 τοῦτο μηδ’ ἐκτήσατο, οὗτος μετὰ ζώντων

book 35.3 τεθνηκὼς

book 35.4 περιπατεῖ.

book 36 [spk_β]σῦκ’, ἔλαιον, ἰσχάδας, μέλι. Β. σὺ μὲν εἰρεσιώνην, οὐ γεωργίαν λέγεις.

book 37.1 Χῖοι

book 37.2 πολὺ ἄριστ’ ἀνευρήκασιν ὀψαρτυτικήν.

book 38 μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org